07/08/2022

Ο Απόστολος και το Ευαγγέλιο της Κυριακής Η’ Ματθαίου

/ Πνευματικά Αποσπάσματα

Απόστολος (Α΄ Κορ. α΄ 10-17)

Αδελφοί, παρακαλῶ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. Μεμέρισται ὁ Χριστός; Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; Ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ Κρίσπον καὶ Γάϊον, ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ’ εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

Μετάφραση

Αδερφοί, σᾶς ζητῶ, στό ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, νά εἶστε ὅλοι σύμφωνοι μεταξύ σας καί νά μήν ὑπάρχουν ἀνάμεσά σας διαιρέσεις, ἀλλά νά εἶστε ἑνωμένοι, μέ μία σκέψη καί μέ ἕνα φρόνημα. Αὐτό τό γράφω, ἀδερφοί μου, γιατί μέ πληροφόρησαν γιά σᾶς ἄνθρωποι τῆς Χλόης ὅτι ἔρχεστε σέ προστριβές μεταξύ σας. Θέλω νά πῶ ὅτι ὁ καθένας σας λέει κάτι διαφορετικό. Ὁ ἕνας λέει: «Ἐγώ εἶμαι τοῦ Παύλου», ὁ ἄλλος: «Ἐγώ εἶμαι τοῦ Ἀπολλώ», ἕνας ἄλλος: «Ἐγώ εἶμαι τοῦ Κηφᾶ» καί κάποιος ἄλλος: «Ἐγώ εἶμαι τοῦ Χριστοῦ». Διαμοι-ράστηκε, λοιπόν, ὁ Χριστός; Μήπως εἶναι ὁ Παῦλος ποῦ πέθανε πάνω στό σταυρό γιά νά σᾶς σώσει; Ἤ μήπως στό ὄνομα τοῦ Παύλου ἔχετε βαφτιστεῖ; Εὐχαριστῶ τό Θεό πού δέ βάφτισα κανένα σας ἐκτός ἀπό τόν Κρίσπο καί τό Γάιο. Ἔτσι δέν μπορεῖ νά πεῖ κανείς πώς βαφτιστήκατε στό δικό μου ὄνομα. Ναί, βέβαια, βάφτισα καί τήν οἰκογένεια τοῦ Στεφανά. Ἐκτός ἀπ΄ αὐτούς, ὅμως, δέ θυμᾶμαι νά βάφτισα κανέναν ἄλλο. Ἡ ἀποστολή πού μοῦ ὅρισε ὁ Χριστός δέν ἦταν νά βαφτίζω, ἀλλά νά κηρύττω τό εὐαγγέλιο, χωρίς σοφά καί περίτεχνα λόγια, ὥστε ὁ θάνατος τοῦ Χριστοῦ στό σταυρό νά μή χάσει τό περιεχόμενό του.

Ευαγγελική περικοπή για την Κυριακὴ Η’ Ματθαίου (07/08/2022)

Ματθ. ιδ΄ 14 – 22

Ο χορτασμός των πέντε χιλιάδων ανδρών και των οικογενειών τους
14 Καὶ ἐξελθὼν εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ’ αὐτοῖς καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. 15 ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα. 16 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. 17 οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. 18 ὁ δὲ εἶπε· Φέρετέ μοι αὐτούς ὧδε. 19 καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. 20 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις. 21 οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων. 22 Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

Απόδοση στη Νέα Ελληνική

14 Όταν λοιπόν βγήκε ο Ιησούς από το μέρος, που είχε καταφύγει, είδε μπροστά Του κόσμο πολύ. Τους σπλαχνίσθηκε. Και εθεράπευσε τους αρρώστους τους. 15 Μα σιγά σιγά πέρασε η ημέρα. Επήγαν λοιπόν οι μαθητές Του και Του είπαν:

— Ο τόπος είναι έρημος! Η ώρα πέρασε. Μη τον κρατείς πια άλλο τον κόσμο! Είπέ τους να αρχίσουν να φεύγουν. να πάνε στα χωριά να αγοράσουν κάτι να φάνε!

16 Ο Ιησούς τους απάντησε:

— Δεν υπάρχει λόγος να φύγουν. Δόστε τους σείς να φάνε!

17 Του είπαν:

— Δεν έχομε μαζί μας παρά μόνο πέντε ψωμιά και δυό ψάρια.

18 Τους είπε ο Ιησούς:

— Φέρτε τα μου εδώ!

19 Και αμέσως έκαμε σήμα στον κόσμο να κάτσουν στο χορτάρι! Επήρε τα πέντε ψωμιά και τα δυό ψάριο και αφού σήκωσε τα μάτια Του στον ουρανό, τα ευλόγησε, τα έκοψε κομμάτια και τα έδωκε στους μαθητές Του. Και οι μαθητές Του τα μοίρασαν στον κόσμο.

20 Έφαγαν όλοι και έχόρτασαν! Και έμάζεψαν τα περισσεύματα! Δώδεκα κοφίνια γεμάτα!... 21 Και εκείνοι που έφαγαν, ήσαν άνδρες μόνο γύρω στους πέντε χιλιάδες· χωρίς να υπολογίζομε τις γυναίκες και τα παιδιά!...

22 Αμέσως μετά, ο Ιησούς ανάγκασε τους μαθητές Του να μπουν στο πλοίο και να πάνε να Τον περιμένουν στην απέναντι παραλία, μέχρι που να πείσει τον κόσμο να πάνε στα σπίτια τους!